# ΠΕΤΡΟΥ Α´

*To elect pilgrims*

1 Πέτρος, ἀπόστολος Ἰησοῦ Χριστοῦ,
ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου,
Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας,*
2 κατὰ πρόγνωσιν Θεοῦ Πατρός, ἐν ἁγιασμῷ
Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν
αἵματος Ἰησοῦ Χριστοῦ· Χάρις ὑμῖν καὶ εἰρήνη
πληθυνθείη.

## Don’t take your inheritance for granted

*Begotten into an incorruptible inheritance*

3 Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ
ἔλεος αὑτοῦ† ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα
ζῶσαν δι᾽ ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ
νεκρῶν, 4 εἰς κληρονομίαν ἄφθαρτον καὶ
ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν
οὐρανοῖς εἰς ὑμᾶς,‡ 5 τοὺς ἐν δυνάμει Θεοῦ
φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν
ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ.

---

* **1:1** [Peter evidently expected his letter to have a rather wide distribution!] † **1:3** ελεος αυτου **f**$^{35}$ $\mathfrak{p}^{72}$ 048 [38%] ¦ 21 ℵA,B,C [60%] RP,HF,OC,TR,CP,NU ¦ 1 [2%] (**f**$^{35}$ [K$^{r}$] is independent of K$^{x}$ and has the earliest attestation. ‘His GREAT mercy’ or ‘HIS great mercy’, which?) ‡ **1:4** υμας **f**$^{35}$ ℵA,B,C [95%] RP,HF,OC,CP,NU ¦ ημας $\mathfrak{p}^{72v}$ [5%] TR (Some TRs, including the one underlying the AV, have υμας.)

### *Genuineness of faith proved by testing*

6 Ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ
δέον ἐστίν,§ λυπηθέντες* ἐν ποικίλοις
πειρασμοῖς, 7 ἵνα τὸ δοκίμιον ὑμῶν τῆς
πίστεως (πολὺ τιμιώτερον† χρυσίου τοῦ
ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου)
εὑρεθῇ εἰς ἔπαινον καὶ δόξαν καὶ τιμὴν‡
ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ 8 —ὃν οὐκ
εἰδότες§ ἀγαπᾶτε, εἰς ὃν (ἄρτι μὴ ὁρῶντες)
πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ
καὶ δεδοξασμένῃ, 9 κομιζόμενοι τὸ τέλος τῆς
πίστεως ὑμῶν,* σωτηρίαν ψυχῶν.

### *Salvation foretold by prophets*

10 Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ
ἐξηρεύνησαν† προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς
χάριτος προφητεύσαντες, 11 ἐρευνῶντες‡ εἰς
τίνα, ἢ ποῖον καιρόν, ἐδήλου τὸ ἐν αὐτοῖς

---

§ **1:6** εστιν **f**$^{35}$ 𝔓$^{72}$A,C [98.6%] RP,HF,OC,TR,CP [NU]*ECM* ¦ — אB [1.4%] * **1:6** λυπηθεντες **f**$^{35}$ 𝔓$^{72}$A,B,C [75%] RP,HF,OC,TR,CP,NU ¦ λυπηθεντας א [23.5%] *ECM* ¦ two other variants † **1:7** πολυ τιμιωτερον **f**$^{35}$ [80%] RP,HF,TR,CP ¦ πολυτιμοτερον 𝔓$^{72}$אA,B,C [20%] OC,NU ‡ **1:7** δοξαν και τιμην **f**$^{35}$ 𝔓$^{72}$אA,B,C [35%] NU ¦ 321 [28%] OC,TR,CP ¦ 32 εις 1 [37%] RP,HF (K$^{x}$ is divided over whether to add the preposition, but is agreed as to the word order. Again **f**$^{35}$ [K$^{r}$] is independent of K$^{x}$ and has the earliest attestation.) § **1:8** ειδοτες **f**$^{35}$ A [93%] RP,HF,OC,TR,CP ¦ ιδοντες 𝔓$^{72}$אB,C [7%] NU * **1:9** υμων **f**$^{35}$ אA,C [96%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ ημων [3%] ¦ — B [1%] † **1:10** εξηρευνησαν **f**$^{35}$ C [99%] RP,HF,OC,TR,CP ¦ εξηραυνησαν 𝔓$^{72}$אA,B [1%] NU ‡ **1:11** ερευνωντες **f**$^{35}$ A,C [93.2%] RP,HF,OC,TR,CP ¦ εξερευνωντες [5%] ¦ εραυνωντες 𝔓$^{72}$אB [0.8%] NU ¦ — [1%]

Πνεῦμα Χριστοῦ προμαρτυρόμενον τὰ εἰς
Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας·
12 οἷς ἀπεκαλύφθη ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν§ δέ,
διηκόνουν αὐτά, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν
εὐαγγελισαμένων ὑμᾶς, ἐν* Πνεύματι Ἁγίῳ
ἀποσταλέντι ἀπ᾽ οὐρανοῦ—εἰς ἃ ἐπιθυμοῦσιν
ἄγγελοι παρακύψαι.

*Be serious, be holy, be fearful*

13 Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς
διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε
ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει
Ἰησοῦ Χριστοῦ 14 —ὡς τέκνα ὑπακοῆς, μὴ
συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ
ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, 15 ἀλλὰ κατὰ τὸν
καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι
ἐν πάσῃ ἀναστροφῇ γενήθητε, 16 διότι
γέγραπται,† «Ἅγιοι γίνεσθε,‡ ὅτι ἐγὼ ἅγιός
εἰμι.»§

17 Καί, εἰ Πατέρα ἐπικαλεῖσθε τὸν
ἀπροσωπολήπτως* κρίνοντα κατὰ τὸ

---

§ **1:12** υμιν **f**35 𝔭72אA,B,C [86%] RP,HF,OC,CP,NU ¦ ημιν [14%] TR * **1:12** εν **f**35 אC [96%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ — 𝔭72A,B [4%] † **1:16** γεγραπται **f**35 𝔭72אA,C [98%] RP,HF,OC,TR,CP,*ECM* ¦ 1 οτι B [2%] [NU] ‡ **1:16** γινεσθε **f**35 [52%] RP,HF,OC ¦ γενεσθε [36%] TR,CP ¦ εσεσθε 𝔭72אA,B,C [12%] NU ¦ two other variants (The early uncials presumably assimilated to the LXX; I take Peter's point to be that since God is holy all the time, we are to be also [present tense—we have to work at it].) § **1:16** ειμι **f**35 𝔭72C [99.2%] RP,HF,OC,TR,CP ¦ — אA,B [0.8%] [NU]*ECM* * **1:17** απροσωποληπτως **f**35 [98.5%] RP,HF,OC,TR,CP ¦ απροσωπολημπτως 𝔭72אA,B,C [1.5%] NU ¦ two other variants (Liddell & Scott don't mention the longer spelling.)

ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας
ὑμῶν χρόνον ἀναστράφητε, 18 εἰδότες
ὅτι οὐ φθαρτοῖς (ἀργυρίῳ ἢ χρυσίῳ)
ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς
πατροπαραδότου,† 19 ἀλλὰ τιμίῳ αἵματι,
ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου, Χριστοῦ·
20 προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου,
φανερωθέντος δὲ ἐπ᾽ ἐσχάτων‡ τῶν χρόνων
δι᾽ ὑμᾶς, 21 τοὺς δι᾽ αὐτοῦ πιστεύοντας§ εἰς
Θεόν, τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν καὶ
δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ
ἐλπίδα εἶναι εἰς Θεόν.

### *Born again through an eternal Word*

22 Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ
ὑπακοῇ τῆς ἀληθείας διὰ Πνεύματος,* εἰς
φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς†
καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς,
23 ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς
ἀλλ᾽‡ ἀφθάρτου, διὰ λόγου ζῶντος Θεοῦ καὶ
μένοντος εἰς τὸν αἰῶνα.§ 24 Διότι· «Πᾶσα

---

† **1:18** υμων αναστροφης πατροπαραδοτου *rell* ¦ 132 C [12%] ¦ four further variants ‡ **1:20** εσχατων **f**35 (𝔭72) [91%] RP,HF,OC,TR,CP ¦ εσχατου (א)A,B,C [9%] NU § **1:21** πιστευοντας **f**35 𝔭72אC [94.2%] RP,HF,OC,TR,CP ¦ πιστευσαντας [5%] ¦ πιστους A,B [0.8%] NU * **1:22** δια πνευματος **f**35 (92.4%) RP,HF,OC,TR,CP ¦ — 𝔭72אA,B,C (7.6%) NU † **1:22** καθαρας **f**35 𝔭72אC (99.4%) RP,HF,OC,TR,CP[NU]*ECM* ¦ — A,B (0.6%) ‡ **1:23** αλλ **f**35 C [40%] ¦ αλλα 𝔭72אA,B [60%] RP,HF,OC,TR,CP,NU § **1:23** εις τον αιωνα **f**35 (90.2%) RP,HF,OC,TR,CP ¦ 13 (2.6%) ¦ 1 τους αιωνας (1.2%) ¦ — 𝔭72אA,B,C (6%) NU

σὰρξ ὡς* χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου†
ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ
ἄνθος αὐτοῦ‡ ἐξέπεσεν, τὸ δὲ ῥῆμα Κυρίου
μένει εἰς τὸν αἰῶνα.» 25 Τοῦτο δέ ἐστιν τὸ
ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

# 2

*To grow you must eat*

1 Ἀποθέμενοι οὖν πᾶσαν κακίαν—καὶ πάντα
δόλον καὶ ὑποκρίσεις καὶ φθόνους, καὶ πάσας
καταλαλιάς— 2 ὡς ἀρτιγέννητα βρέφη τὸ
λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα
ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν,* 3 εἴπερ†
ἐγεύσασθε ὅτι χρηστὸς‡ ὁ Κύριος. 4 Πρὸς ὃν
προσερχόμενοι, λίθον ζῶντα—ὑπὸ ἀνθρώπων
μὲν ἀποδεδοκιμασμένον παρὰ δὲ Θεῷ
ἐκλεκτόν, ἔντιμον— 5 καὶ αὐτοί, ὡς λίθοι
ζῶντες, οἰκοδομεῖσθε§ οἶκος πνευματικός,
ἱεράτευμα* ἅγιον, ἀνενέγκαι πνευματικὰς

---

* **1:24** ως *rell* ¦ ωσει א ¦ — A [9%] † **1:24** ανθρωπου **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP ¦ αυτης 𝔓$^{72}$A,B,C [9%] NU ¦ αυτου א ¦ one other variant ‡ **1:24** αυτου **f**$^{35}$ C [90%] RP,HF,OC,TR,CP ¦ αυτης [1%] ¦ — 𝔓$^{72}$אA,B [9%] NU * **2:2** εις σωτηριαν **f**$^{35}$ (𝔓$^{72}$)אA,B,C [65%] OC,NU ¦ — [35%] RP,HF,TR,CP (OC is in small print.) † **2:3** ειπερ **f**$^{35}$ C [99%] RP,HF,OC,TR,CP ¦ ει (𝔓$^{72}$)אA,B [1%] NU ‡ **2:3** χρηστος **f**$^{35}$ אA,B,C [48%] RP,HF,OC,TR,CP,NU ¦ χριστος 𝔓$^{72}$ [52%] (The change from ‘gracious’ to ‘Christ’ is so obvious as to be almost involuntary; if ‘Christ’ were original it is scarcely credible that anyone would change it to ‘gracious’.) § **2:5** οικοδομεισθε **f**$^{35}$ 𝔓$^{72}$A,B [75%] RP,HF,OC,TR,CP,NU ¦ εποικοδομεισθε אC [25%] * **2:5** ιερατευμα **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP ¦ εις 1 𝔓$^{72}$אA,B,C [10%] NU

θυσίας εὐπροσδέκτους τῷ† Θεῷ διὰ Ἰησοῦ
Χριστοῦ.

### *The Chief Cornerstone*

6 Διότι‡ περιέχει ἡ § Γραφῇ· «Ἰδού, τίθημι
ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτόν,
ἔντιμον, καὶ ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ μὴ
καταισχυνθῇ.» 7 Ὑμῖν οὖν ἡ τιμὴ τοῖς
πιστεύουσιν, ἀπειθοῦσιν* δέ, «λίθον† ὃν
ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος
ἐγενήθη εἰς κεφαλὴν γωνίας,» 8 καὶ «λίθος
προσκόμματος καὶ πέτρα σκανδάλου»· οἳ
προσκόπτουσιν τῷ λόγῳ ἀπειθοῦντες, εἰς ὅ,
καί, ἐτέθησαν.‡

### *A royal priesthood*

9 Ὑμεῖς δὲ γένος ἐκλεκτόν, βασίλειον
ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν,
ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε§ τοῦ ἐκ σκότους
ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ
φῶς· 10 οἵ ποτε οὐ λαὸς νῦν δὲ λαὸς Θεοῦ, οἱ
οὐκ ἠλεημένοι νῦν δὲ ἐλεηθέντες.

---

† **2:5** τω **f**35 𝔭72 [96.5%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ — ℵA,B,C [3.5%] ‡ **2:6** διοτι **f**35 𝔭72ℵA,B,C [98%] RP,HF,OC,CP,NU ¦ διο και [1%] TR ¦ διο [1%] § **2:6** ἡ **f**35 C [35%] ¦ εν τη [59%] RP,HF,OC,TR,CP ¦ εν 𝔭72ℵA,B [6%] NU (η γραφη is the subject of the verb, περιεχει, active voice; the change to the familiar 'in the' would be almost unthinking.) * **2:7** απειθουσιν **f**35 A [92%] RP,HF,OC,TR,CP ¦ απιστευσιν 𝔭72ℵB,C [8%] NU † **2:7** λιθον **f**35 ℵ [95%] RP,HF,OC,TR,CP ¦ λιθος 𝔭72A,B,C [5%] NU ‡ **2:8** [What is the antecedent of ὅ, the finite verb or the participle? Being higher in rank the finite form presumably takes precedence.] § **2:9** εξαγγειλητε *rell* ¦ εξαγγελλητε [14%]

# Your practice should be consistent with your standing

11 Ἀγαπητοί, παρακαλῶ (ὡς παροίκους καὶ
παρεπιδήμους) ἀπέχεσθαι* τῶν σαρκικῶν
ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ
τῆς ψυχῆς, 12 τὴν ἀναστροφὴν ὑμῶν
ἔχοντες καλὴν ἐν τοῖς ἔθνεσιν,† ἵνα, ἐν ᾧ
καταλαλοῦσιν‡ ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν
καλῶν ἔργων ἐποπτεύσαντες§ δοξάσωσιν τὸν
Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς.

*Respect civil authority*

13 Ὑποτάγητε οὖν* πάσῃ ἀνθρωπίνῃ κτίσει
διὰ τὸν Κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι,
14 εἴτε ἡγεμόσιν ὡς δι᾽ αὐτοῦ πεμπομένοις,
εἰς ἐκδίκησιν μὲν† κακοποιῶν ἔπαινον δὲ
ἀγαθοποιῶν. 15 Ὅτι οὕτως ἐστὶν τὸ θέλημα
τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν
τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν· 16 ὡς
ἐλεύθεροι (καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες

---

* **2:11** απεχεσθαι **$f^{35}$** אB [75%] RP,HF,TR,CP,NU ¦ απεχεσθε $\mathfrak{P}^{72}$A,C [25%] OC (Direct, or indirect, speech?) † **2:12** εχοντες καλην εν τοις εθνεσιν **$f^{35}$** [86%] RP,HF,OC,CP ¦ 34512 (א)A,C [9%] TR,NU ¦ 34521 $\mathfrak{P}^{72}$ [1.4%] ¦ 21345 [1%] ¦ 3452 B ¦ three further variants ‡ **2:12** καταλαλουσιν **$f^{35}$** $\mathfrak{P}^{72}$אA,B,C [52%] RP,HF,OC,TR,CP,NU ¦ καταλαλωσιν [48%] § **2:12** εποπτευσαντες **$f^{35}$** A [83%] RP,HF,OC,TR,CP ¦ υποπτευσαντες [5%] ¦ εποπτευοντες $\mathfrak{P}^{72}$אB,C [12%] NU (The critics have already observed the good deeds—they know their criticism is false.) * **2:13** ουν **$f^{35}$** [95%] RP,HF,OC,TR,CP ¦ — $\mathfrak{P}^{72}$אA,B,C [5%] NU † **2:14** μεν **$f^{35}$** C [52%] OC,TR,CP ¦ — $\mathfrak{P}^{72}$אA,B [48%] RP,HF,NU (OC is in small print.)

τῆς κακίας τὴν ἐλευθερίαν), ἀλλ᾽ ὡς δοῦλοι
Θεοῦ.‡ 17 Πάντας τιμήσατε· τὴν ἀδελφότητα
ἀγαπήσατε·§ τὸν Θεὸν φοβεῖσθε· τὸν βασιλέα
τιμᾶτε.

### *A word to servants*

18 Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ
τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ
ἐπιεικέσιν ἀλλὰ καὶ τοῖς σκολιοῖς. 19 Τοῦτο
γὰρ χάρις,* εἰ διὰ συνείδησιν Θεοῦ† ὑποφέρει
τις λύπας, πάσχων ἀδίκως. 20 Ποῖον γὰρ
κλέος εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι
ὑπομενεῖτε;‡ Ἀλλ᾽ εἰ ἀγαθοποιοῦντες καὶ
πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ τῷ§
Θεῷ.

### *Christ gave the example*

21 Εἰς τοῦτο γὰρ καὶ* ἐκλήθητε,
ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν,†

‡ **2:16** δουλοι Θεου **f**35 A [90%] RP,HF,OC,TR(CP) ¦ 21 (𝔓72)אB,C [10%] NU § **2:17** αγαπησατε **f**35 [71%] RP,HF ¦ αγαπατε 𝔓72אA,B,C [24%] OC,TR,CP,NU ¦ — [5%] * **2:19** χαρις **f**35 𝔓72אA,B [81.6%] RP,HF,OC,TR,CP,NU ¦ 1 παρα τω Θεω C [9%] ¦ 1 παρα Θεω [8%] ¦ 1 Θεω [0.8%] ¦ 1 θεου [0.6%] † **2:19** Θεου **f**35 אB [84%] RP,HF,OC,TR,CP,NU ¦ αγαθην C [14%] ¦ αγαθη 1 𝔓72 [0.4%] ¦ 1 αγαθην A [0.6%] ¦ — [1%] ‡ **2:20** υπομενειτε *rell* ¦ υπομενετε 𝔓72 [14%] § **2:20** τω **f**35 A [47%] ¦ — 𝔓72,81vאB,C [53%] RP,HF,OC,TR,CP,NU * **2:21** και **f**35 𝔓72 [23%] CP ¦ — 𝔓81אA,B,C [77%] RP,HF,OC,TR,NU (**f**35 [Kr] is independent of Kx and has the earliest attestation; the και is emphatic.) † **2:21** ημων **f**35 (85.3%) RP,HF,OC,TR,CP ¦ υμων (𝔓72,81v)(אA)B,Cv (14.7%) NU

ὑμῖν‡ ὑπολιμπάνων ὑπογραμμὸν ἵνα
ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· 22 ὃς
ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν
τῷ στόματι αὐτοῦ· 23 ὃς λοιδορούμενος οὐκ
ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει παρεδίδου
δὲ τῷ κρίνοντι δικαίως· 24 ὃς τὰς ἁμαρτίας
ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι
αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις
ἀπογενόμενοι τῇ δικαιοσύνῃ ζήσωμεν· οὗ
τῷ μώλωπι αὐτοῦ§ ἰάθητε. 25 Ἦτε γὰρ ὡς
πρόβατα πλανώμενα,* ἀλλ᾽† ἐπεστράφητε‡
νῦν ἐπὶ τὸν Ποιμένα καὶ Ἐπίσκοπον τῶν
ψυχῶν ἡμῶν.§

# 3

## *A word to wives*

---

‡ **2:21** υμιν **f**[35] (𝔭[72,81v]אA,B,C[V]) (85%) RP,HF,OC,CP,NU ¦ ημιν (15%) TR (For the four word sequence, επαθεν υπερ ημων υμιν, there are at least sixteen variations. Taking these last two sets together, NU has both pronouns in the 2nd person, while TR has both in the 1st person.) § **2:24** αυτου **f**[35] א [71%] RP,HF,OC,TR,CP ¦ — 𝔭[72,81v]A,B,C [29%] NU [Note that μωλωπι is singular (‘wound’), not plural (‘stripes’).] * **2:25** πλανωμενα **f**[35] 𝔭[72]C [96.5%] RP,HF,OC,TR,CP ¦ πλανωμενοι אA,B [3.5%] NU † **2:25** αλλ **f**[35] 𝔭[72]אA,C [99.8%] RP,HF,OC,TR,CP,*ECM* ¦ αλλα B [alone] NU ‡ **2:25** επεστραφητε **f**[35] 𝔭[72]A,B [75%] RP,HF,OC,TR,CP,NU ¦ επιστραφητε א [20%] ¦ επεστρεψατε C [2.5%] ¦ επιστρεψατε [2.5%] (Indicative or imperative? With this verb the aorist passive is commonly used with active sense.) § **2:25** ημων **f**[35] [50%] CP ¦ υμων 𝔭[72]אA,B,C [50%] RP,HF,OC,TR,NU (Both make good sense; to be, or not to be, inclusive.)

1 Ὁμοίως, αἱ* γυναῖκες, ὑποτασσόμεναι τοῖς
ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες† ἀπειθοῦσιν
τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς,
ἄνευ λόγου, κερδηθήσονται‡ 2 (ἐποπτεύσαντες
τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν), 3 ὧν
ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς§ τριχῶν καὶ
περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων
κόσμος, 4 ἀλλ᾽ ὁ κρυπτὸς τῆς καρδίας
ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ
ἡσυχίου* πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ†
Θεοῦ πολυτελές. 5 Οὕτως γάρ ποτε καὶ αἱ
ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ τὸν‡ Θεὸν
ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις
ἀνδράσιν, 6 ὡς Σάρρα ὑπήκουσεν τῷ Ἀβραάμ,§

* **3:1** αι **f**³⁵ 𝔭72C [94%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ και 1 [3%] ¦ δε και 1 [2%] ¦ — 𝔭81אA,B [1%] ¦ two other variants † **3:1** και ει τινες **f**35 𝔭72אA [80%] RP,HF,OC,TR,CP,NU ¦ 213 C [10%] ¦ 23 𝔭81vB [3%] ¦ 1 οιτινες [6%] ¦ οιτινες [1%] ‡ **3:1** κερδηθησονται **f**35 𝔭72אA,B,C [98%] RP,HF,OC,CP,NU ¦ κερδησονται [1%] ¦ κερδηθησωνται [1%] TR § **3:3** εμπλοκης **f**35 𝔭72אA,B [81%] RP,HF,OC,TR,CP,NU ¦ εν πλοκης C [8%] ¦ εκ πλοκης [10%] ¦ two further variants * **3:4** πραεος και ησυχιου **f**35 A,C [74%] RP,HF,OC,TR,CP ¦ 13 א [0.4%] ¦ πραεως 23 𝔭72 [25%] NU ¦ 32 πραεως B [0.2%] ¦ two more variants † **3:4** του *rell* ¦ — [20%] ‡ **3:5** επι τον **f**35 א [81%] OC,TR,CP ¦ εις 2 [7%] ¦ 1 [3%] RP,HF ¦ εις 𝔭72A,B,C [9%] NU § **3:6** ἁβρααμ **f**35 [50%] ¦ ἀβρααμ אA,B,C [50%] RP,HF,OC,TR,CP,NU (When Jehovah changed Abram's name to Abraham [Genesis 17:5] the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is no way in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word.)

κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε* τέκνα
ἀγαθοποιοῦσαι καὶ μὴ φοβούμεναι μηδεμίαν
πτόησιν.

### *A word to husbands*

7 Οἱ ἄνδρες, ὁμοίως, συνοικοῦντες κατὰ
γνῶσιν ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ,
ἀπονέμοντες τιμὴν ὡς καὶ συγκληρονόμοι†
χάριτος ζωῆς,‡ εἰς τὸ μὴ ἐγκόπτεσθαι§ τὰς
προσευχὰς ὑμῶν.

### *The golden rule*

8 Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς,
φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες,* 9 μὴ
ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ ἢ λοιδορίαν
ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες,
εἰδότες† ὅτι εἰς τοῦτο ἐκλήθητε ἵνα εὐλογίαν
κληρονομήσητε. 10 «Ὁ γὰρ θέλων ζωὴν
ἀγαπᾶν καὶ ἡμέρας ἰδεῖν‡ ἀγαθὰς παυσάτω
τὴν γλῶσσαν αὐτοῦ§ ἀπὸ κακοῦ καὶ χείλη

---

* **3:6** εγενηθητε **f**$^{35}$ 𝔭$^{81v}$ℵA,B,C [63%] RP,HF,OC,TR,NU ¦ εγεννηθητε 𝔭$^{72}$ [35%] CP ¦ εγεννηθη [2%] (The extra *nu* is presumably a mistake.) † **3:7** συγκληρονομοι **f**$^{35}$ (A,C) [90%] RP,HF,OC,TR,CP ¦ συγκληρονομοις 𝔭$^{81}$ (𝔭$^{72}$B) [9%] NU ¦ συνκληρονομους ℵ ¦ two other readings ‡ **3:7** χαριτος ζωης **f**$^{35}$ 𝔭$^{81v}$B,C [58%] RP,HF,OC,TR,CP,NU ¦ 1 ζωσης [35%] ¦ ποικιλης 12 ℵA [7%] ¦ 12 αιωνιου 𝔭$^{72}$ § **3:7** εγκοπτεσθαι **f**$^{35}$ 𝔭$^{81}$(ℵ)A,B [70%] RP,HF,OC,CP,NU ¦ εκκοπτεσθαι 𝔭$^{72}$C [30%] TR * **3:8** φιλοφρονες **f**$^{35}$ (73.3%) RP,HF,OC,TR,CP ¦ ταπεινοφρονες 𝔭$^{72,81v}$ℵA,B,C (22.3%) NU ¦ several conflations that garner (4.4%) † **3:9** ειδοτες **f**$^{35}$ (90.3%) RP,HF,OC,TR,CP ¦ — 𝔭$^{72,81}$ℵA,B,C (9.7%) NU ‡ **3:10** ημερας ιδειν **f**$^{35}$ C [26%] ¦ 21 𝔭$^{72,81v}$ℵA,B [74%] RP,HF,OC,TR,CP,NU (**f**$^{35}$ [K$^{r}$] is independent of K$^{x}$.) § **3:10** αυτου **f**$^{35}$ ℵ [95%] RP,HF,OC,TR,CP ¦ — 𝔭$^{72,81}$A,B,C [5%] NU

αὐτοῦ* τοῦ μὴ λαλῆσαι δόλον· 11 ἐκκλινάτω
ἀπὸ† κακοῦ καὶ ποιησάτω ἀγαθόν· ζητησάτω
εἰρήνην, καὶ διωξάτω αὐτήν. 12 Ὅτι‡ ὀφθαλμοὶ
Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν
αὐτῶν· πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας
κακά.»§

### *Better to suffer than to sin*

13 Καὶ τίς ὁ κακώσων ὑμᾶς ἐὰν τοῦ ἀγαθοῦ
μιμηταὶ* γένησθε; 14 Ἀλλ᾽ εἰ καὶ πάσχοιτε† διὰ
δικαιοσύνην, μακάριοι. «Τὸν δὲ φόβον αὐτῶν
μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε.» 15 Κύριον
δὲ τὸν Θεὸν‡ ἁγιάσατε ἐν ταῖς καρδίαις
ὑμῶν, ἕτοιμοι δὲ§ ἀεὶ πρὸς ἀπολογίαν
παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς
ἐν ὑμῖν ἐλπίδος,* μετὰ πραΰτητος† καὶ
φόβου· 16 συνείδησιν ἔχοντες ἀγαθήν, ἵνα

---

* **3:10** αυτου **f35** [89%] RP,HF,OC,TR,CP ¦ — 𝔭72,81vאA,B,C [11%] NU † **3:11** απο **f35** א [93%] RP,HF,OC,TR,CP ¦ δε 1 𝔭72A,B,C [7%] NU ‡ **3:12** οτι **f35** 𝔭72,81אA,B,C [98%] RP,HF,OC,CP,NU ¦ 1 οι [2%] TR § **3:12** κακα **f35** 𝔭72אA,B,C [93%] RP,HF,OC,TR,NU ¦ 1 του εξολοθρευσαι αυτους εκ γης [7%] CP * **3:13** μιμηται **f35** [75%] RP,HF,OC,TR,CP ¦ ζηλωται (𝔭72א)A(B)C [25%] NU † **3:14** ει και πασχοιτε **f35** 𝔭72(א)B,C [82%] RP,HF,OC,TR,NU ¦ 213 [8%] ¦ 12 πασχετε [5.5%] CP ¦ 1 δε 23 A [4.5%] ‡ **3:15** θεον **f35** [94%] RP,HF,OC,TR,CP ¦ χριστον 𝔭72אA,B,C [6%] NU § **3:15** δε **f35** [83%] RP,HF,OC,TR,CP ¦ — 𝔭72אA,B,C [17%] NU * **3:15** ελπιδος **f35** [81%] RP,HF,OC,TR,CP ¦ 1 αλλα 𝔭72אA,B,C [19%] NU † **3:15** πραυτητος *rell* ¦ πραοτητος [15%]

ἐν ᾧ καταλαλοῦσιν‡ ὑμῶν ὡς κακοποιῶν,§
καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τῇ
ἀγαθῇ ἐν Χριστῷ ἀναστροφῇ.* 17 Κρεῖττον
γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι† τὸ θέλημα τοῦ
Θεοῦ, πάσχειν ἢ κακοποιοῦντας.

### *Follow Christ's example to victory*

18 Ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν
ἔπαθεν,‡ δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς§
προσαγάγῃ τῷ Θεῷ· θανατωθεὶς μὲν σαρκὶ
ζωοποιηθεὶς δὲ* πνεύματι· 19 ἐν ᾧ καὶ τοῖς
ἐν φυλακῇ πνεύμασιν πορευθεὶς ἐκήρυξεν,
20 ἀπειθήσασίν ποτε, ὅτε ἀπεξεδέχετο† ἡ
τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε,

---

‡ **3:16** καταλαλουσιν **f**[35] אA,C (44.4%) RP,OC,CP ¦ καταλαλωσιν (50%) HF,TR ¦ καταλαλεισθε 𝔭[72]B (5%) NU ¦ two other readings § **3:16** υμων ως κακοποιων **f**[35] אA,C (92.4%) RP,HF,OC,TR,CP ¦ υμας 23 (2.4%) ¦ — 𝔭[72]B (5.2%) NU * **3:16** τη αγαθη εν χριστω αναστροφη **f**[35] [20%] ¦ την αγαθην 34 αναστροφην (א)A,B [50%] RP,HF,OC,TR,CP,NU ¦ την 34 αγαθην αναστροφην 𝔭[72] [24%] ¦ την 34 αγνην αναστροφην C [1%] ¦ την καλην 34 αναστροφην [4%] ¦ — [1%] (The dative is correct for the object of επηρεαζω, but if copyists were not familiar with the verb they would naturally 'correct' to the accusative. *ECM* lists 15 variations for the 6-word phrase.) † **3:17** θελοι **f**[35] 𝔭[72]אA,B,C [92%] RP,HF,OC,CP,NU ¦ θελει [3%] TR ¦ — [5%] ‡ **3:18** επαθεν **f**[35] B [78%] RP,HF,OC,TR,CP,NU ¦ υπερ ημων 1 [6%] ¦ απεθανεν C [3%] ¦ υπερ ημων απεθανεν (א) [10%] ¦ υπερ υμων απεθανεν 𝔭[72]A [3%] § **3:18** ημας **f**[35] A,C [64%] OC,TR,CP ¦ υμας 𝔭[72]B [36%] RP,HF,NU ¦ — א * **3:18** δε **f**[35] אA,B,C [96%] RP,HF,OC,CP,NU ¦ 1 τω [4%] TR ¦ 1 εν 𝔭[72] † **3:20** απεξεδεχετο **f**[35] 𝔭[72]אA,B,C [88%] RP,HF,OC,CP,NU ¦ απαξ εδεχετο [11%] ¦ απαξ εξεδεχετο TR ¦ three other readings

κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγαι,‡
τοῦτ᾽ ἔστιν ὀκτώ, ψυχαὶ διεσώθησαν δι᾽
ὕδατος· 21 ὃ§ ἀντίτυπον, νῦν καὶ ἡμᾶς* σῴζει,
βάπτισμα (οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ
συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν)
δι᾽ ἀναστάσεως Ἰησοῦ Χριστοῦ, 22 ὅς ἐστιν
ἐν δεξιᾷ τοῦ† Θεοῦ, πορευθεὶς εἰς οὐρανόν,
ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν
καὶ δυνάμεων.

## Some concluding instructions

# 4

*Pursue the will of God*

1 Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν* σαρκί,
καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε
(ὅτι ὁ παθὼν σαρκὶ† πέπαυται ἁμαρτίας)
2 εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις ἀλλὰ
θελήματι τοῦ‡ Θεοῦ τὸν ἐπίλοιπον ἐν
σαρκὶ βιῶσαι χρόνον. 3 Ἀρκετὸς γὰρ ὑμῖν§

‡ **3:20** ολιγαι **f**[35] C [87%] RP,HF,OC,TR,CP ¦ ολιγοι 𝔭[72]אA,B [12%] NU ¦ ο λογος [1%] § **3:21** ο **f**[35] A,B,C [84%] RP,HF,OC,TR,NU ¦ ω [12%] CP ¦ ου [1.5%] ¦ — 𝔭[72]א [2.5%] * **3:21** αντιτυπον νυν και ημας **f**[35] [74%] RP,HF,OC(CP) ¦ 123 υμας [2%] ¦ 3412 C [8%] TR ¦ 3 υμας 12 𝔭[72]A,B [12%] NU ¦ 3 υμας 21 א (There are seven further variants that together garner 4%; ημας has about 85%.) † **3:22** του **f**[35] 𝔭[72]A,C [99.4%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ — אB [0.6%] * **4:1** υπερ ημων **f**[35] A (88.4%) RP,HF,OC,TR,CP ¦ 1 υμων (א) (7.2%) ¦ — 𝔭[72]B,C (4.4%) NU † **4:1** σαρκι **f**[35] 𝔭[72]אA,B,C [76%] NU ¦ εν 1 [24%] RP,HF,OC,TR,CP (OC is in small print.) ‡ **4:2** του **f**[35] [22%] ¦ — 𝔭[72]אA,B,C [78%] RP,HF,OC,TR,CP,NU § **4:3** υμιν **f**[35] א (41.7%) HF,OC,CP ¦ ημιν C (47.1%) RP,TR ¦ — 𝔭[72]A,B (11.2%) NU

ὁ παρεληλυθὼς χρόνος* τὸ θέλημα† τῶν
ἐθνῶν κατεργάσασθαι‡—πεπορευμένους ἐν
ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις,
πότοις, καὶ ἀθεμίτοις§ εἰδωλολατρίαις*—
4 ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν
εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν,
βλασφημοῦντες· 5 οἳ ἀποδώσουσιν λόγον
τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς
6 (εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα
κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ
κατὰ Θεὸν πνεύματι).†

### *Redeem the time*

7 Πάντων δὲ τὸ τέλος ἤγγικεν· σωφρονήσατε
οὖν καὶ νήψατε εἰς τὰς‡ προσευχάς. 8 Πρὸ

---

* **4:3** χρονος $\mathbf{f}^{35}$ $\mathfrak{P}^{72}$אA,B,C [26%] NU ¦ 1 του βιου [74%] RP,HF,OC,TR,CP † **4:3** θελημα $\mathbf{f}^{35}$ [87%] RP,HF,OC,TR,CP ¦ βουλημα $\mathfrak{P}^{72}$אA,B,C [13%] NU ‡ **4:3** κατεργασασθαι $\mathbf{f}^{35}$ [89%] RP,HF,OC,TR,CP ¦ κατειργασασθε $C^{V}$ [3%] ¦ κατειργασθαι $\mathfrak{P}^{72}$(א)A,B [6%] NU ¦ three further variants [2%] § **4:3** και αθεμιτοις *rell* ¦ — [1%] CP * **4:3** ειδωλολατριαις $\mathbf{f}^{35}$ אA,C [70%] OC,CP,NU ¦ ειδωλολατρειαις B [30%] RP,HF,TR † **4:6** [This delightful verse has given commentators no end of exercise. Verse 5 ends with “judge living and dead”, but anyone who is dead was once alive, obviously, and the judgment will be based on what they did while alive, which is why everyone needs to be evangelized while in this life. There is no definite article with ‘dead’, either in verse 5 or 6, so Peter is referring to the ones who were evangelized in this life—he is not saying that EVERYone has been or will be evangelized. Everyone will be judged, but to ‘live according to God in spirit’ one must respond adequately to the Gospel.] ‡ **4:7** τας $\mathbf{f}^{35}$ [70%] RP,HF,OC,TR,CP ¦ — $\mathfrak{P}^{72}$אA,B [30%] NU

πάντων δὲ§ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ
ἔχοντες, ὅτι ἡ * ἀγάπη καλύπτει† πλῆθος
ἁμαρτιῶν· 9 φιλόξενοι εἰς ἀλλήλους ἄνευ
γογγυσμῶν·‡ 10 ἕκαστος καθὼς ἔλαβεν
χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ§ διακονοῦντες
ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ.
11 Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ. Εἴ τις διακονεῖ,
ὡς ἐξ ἰσχύος ὡς* χορηγεῖ ὁ Θεός, ἵνα ἐν πᾶσιν
δοξάζηται Θεὸς† διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστιν‡
ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας.§ Ἀμήν.

### *Suffering in the will of God*

12 Ἀγαπητοί, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν
πυρώσει πρὸς πειρασμὸν* ὑμῖν γινομένῃ,
ὡς ξένου ὑμῖν συμβαίνοντος, 13 ἀλλὰ καθὸ
κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ παθήμασιν,
χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς
δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι. 14 Εἰ
ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι,

---

§ **4:8** δε **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP ¦ — 𝔭$^{72}$אA$^{v}$,B [2%] NU
* **4:8** η **f**$^{35}$ [49%] OC ¦ — 𝔭$^{72}$אA,B [51%] RP,HF,TR,CP,NU (OC is in small print.) † **4:8** καλυπτει **f**$^{35}$ A,B [60%] NU ¦ καλυψει 𝔭$^{72}$א [40%] RP,HF,OC,TR,CP ‡ **4:9** γογγυσμων **f**$^{35}$ [83%] RP,HF,OC,TR,CP ¦ γογγυσμου אA,B [17%] NU ¦ γογυζμου 𝔭$^{72}$ ¦ one other variant § **4:10** αυτο *rell* ¦ αυτω [12%]
* **4:11** ως **f**$^{35}$ [69%] RP,HF,OC,CP ¦ ης 𝔭$^{72}$אA,B [28%] TR,NU ¦ — [3%] † **4:11** δοξαζηται Θεος **f**$^{35}$ [20%] ¦ 1 ο 2 𝔭$^{72}$אA,B [73%] RP,HF,OC,TR,CP,NU ¦ ο 21 [6%] ¦ three other readings (The lack of the article emphasizes the inherent quality of the noun.)
‡ **4:11** εστιν *rell* ¦ — A [13%] § **4:11** αιωνας **f**$^{35}$ 𝔭$^{72}$ [27%] ¦ 1 των αιωνων אA,B [73%] RP,HF,OC,TR,CP,NU (The reading of **f**$^{35}$ [K$^{r}$] is independent of K$^{x}$ and has the earliest attestation.)
* **4:12** πειρασμον *rell* ¦ πειρασμων [4%] CP

ὅτι τὸ τῆς δόξης† καὶ τὸ τοῦ Θεοῦ
Πνεῦμα ἐφ᾽ ὑμᾶς ἀναπέπαυται.‡ Κατὰ
μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς
δοξάζεται.§ 15 Μὴ γάρ τις ὑμῶν πασχέτω
ὡς φονεὺς ἢ κλέπτης ἢ κακοποιὸς ἢ ὡς
ἀλλοτριοεπίσκοπος·* 16 εἰ δὲ ὡς Χριστιανός,
μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν Θεὸν ἐν
τῷ μέρει† τούτῳ. 17 Ὅτι ὁ ‡ καιρὸς τοῦ
ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ·
εἰ δὲ πρῶτον ἀφ᾽ ἡμῶν,§ τί τὸ τέλος τῶν
ἀπειθούντων τῷ τοῦ Θεοῦ εὐαγγελίῳ; 18 Καί,
‹Εἰ ὁ δίκαιος μόλις σῴζεται, ὁ ἀσεβὴς καὶ
ἁμαρτωλὸς* ποῦ φανεῖται;› 19 Ὥστε καὶ οἱ
πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ὡς†
πιστῷ Κτίστῃ, παρατιθέσθωσαν τὰς ψυχὰς

---

† **4:14** δοξης **f**35 𝔓72B (75.7%) RP,HF,TR,CP,NU ¦ 1 και δυναμεως (א)A (24.3%) OC ‡ **4:14** αναπεπαυται **f**35 [39%] CP ¦ επαναπαυεται A [6%] ¦ επαναπεπαυται 𝔓72 [2%] ¦ αναπαυεται אB [52%] RP,HF,OC,TR,NU ¦ αναπεμπεται [1%] § **4:14** κατα μεν αυτους βλασφημειται κατα δε υμας δοξαζεται **f**35 [83%] RP,HF,OC,TR,CP ¦ — 𝔓72אA,B [17%] NU * **4:15** αλλοτριοεπισκοπος **f**35 [89%] RP,HF,OC,TR,CP ¦ αλλοτριος επισκοπος A [4%] ¦ αλλοτριοις επισκοπος 𝔓72 ¦ αλλοτριεπισκοπος אB [7%] NU † **4:16** μερει **f**35 [88%] RP,HF,OC,TR,CP,*ECM* ¦ ονοματι 𝔓72אA,B [11%] NU ¦ conflation [1%] ‡ **4:17** ο **f**35 𝔓72B [80%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ — אA [20%] § **4:17** ημων *rell* ¦ υμων א [13%] * **4:18** ασεβης και αμαρτωλος **f**35 B [87%] RP,HF,OC,TR,CP,NU ¦ 321 𝔓72 [3%] ¦ 12 ο 3 אA [10%] † **4:19** ως **f**35 [94%] RP,HF,OC,TR,CP ¦ — 𝔓72אA,B [6%] NU

αὐτῶν‡ ἐν ἀγαθοποιΐᾳ.§

# 5

### *How to be a shepherd*

1 Πρεσβυτέρους τοὺς* ἐν ὑμῖν παρακαλῶ,
ὁ † συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ
Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης
ἀποκαλύπτεσθαι δόξης κοινωνός· 2 ποιμάνατε
τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ἐπισκοποῦντες‡
μὴ ἀναγκαστῶς ἀλλ᾽§ ἑκουσίως·* μηδὲ
αἰσχροκερδῶς ἀλλὰ προθύμως· 3 μηδὲ† ὡς
κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι
γινόμενοι‡ τοῦ ποιμνίου. 4 Καὶ φανερωθέντος
τοῦ Ἀρχιποίμενος κομιεῖσθε τὸν ἀμαράντινον
τῆς δόξης στέφανον.

### *Humility is a must*

---

‡ **4:19** αυτων **f**[35] 𝔭[72]אA [95%] RP,HF,OC,CP,NU ¦ εαυτων [5%] TR ¦ — B (Four of TRs five percent actually have εαυτων ψυχας.) § **4:19** αγαθοποιια *rell* ¦ αγαθοποιιαις 𝔭[72]A [13%] ¦ one other reading * **5:1** τους **f**[35] [78%] RP,HF,OC,TR,CP ¦ ουν 1 א [17%] ¦ ουν 𝔭[72]A,B [4%] NU ¦ — [1%] † **5:1** ο **f**[35] 𝔭[72]אA,B [89%] RP,HF,OC,TR,NU ¦ ως [11%] CP ¦ two other readings ‡ **5:2** επισκοπουντες **f**[35] 𝔭[72]A (99.2%) RP,HF,OC,TR,CP[NU]*ECM* ¦ — אB (0.8%) § **5:2** αλλ **f**[35] A [97%] RP,HF,OC,TR,CP,NU ¦ αλλα 𝔭[72]אB [3%] *ECM* * **5:2** εκουσιως **f**[35] B [86%] RP,HF,OC,TR,CP ¦ 1 κατα Θεον 𝔭[72]אA [14%] NU † **5:3** μηδε **f**[35] 𝔭[72] [49%] RP,HF,CP ¦ μηδ אA [50%] OC,TR,NU (B omits v. 3; two other readings.) ‡ **5:3** γινομενοι *rell* ¦ γενομενοι [20%]

5 Ὁμοίως,§ νεώτεροι, ὑποτάγητε
πρεσβυτέροις. Πάντες δὲ ἀλλήλοις
ὑποτασσόμενοι,* τὴν ταπεινοφροσύνην
ἐγκομβώσασθε, ὅτι «Ὁ† Θεὸς ὑπερηφάνοις
ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν.»
6 Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα
τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ‡ ἐν καιρῷ·§ 7 πᾶσαν
τὴν μέριμναν ὑμῶν ἐπιρρίψαντες* ἐπ᾽ αὐτόν,
ὅτι αὐτῷ μέλει† ὑπὲρ‡ ὑμῶν.

### *Guard against the devil*

8 Νήψατε, γρηγορήσατε· ὅτι§ ὁ ἀντίδικος
ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος,
περιέρχεται,* ζητῶν τίνα† καταπιεῖν·‡ 9 ᾧ

---

§ **5:5** ομοιως **f**$^{35}$ 𝔭$^{72}$A,B [74%] RP,HF,OC,TR,CP,NU ¦ 1 δε א [1%] ¦ 1 οι [5%] ¦ 1 δε και [1%] ¦ 1 δε οι [7%] ¦ 1 και οι [5%] ¦ 1 δε και οι [7%] ¦ one other reading * **5:5** υποτασσομενοι **f**$^{35}$ (94%) RP,HF,OC,TR,CP ¦ υποταγωμεν (1.4%) ¦ — (𝔭$^{72}$)אA,B (4.2%) NU ¦ two other readings † **5:5** ο **f**$^{35}$ אA [99%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ — 𝔭$^{72}$B [1%] ‡ **5:6** υμας υψωση **f**$^{35}$ 𝔭$^{72}$אA,B [79%] RP,HF,OC,TR,CP,NU ¦ 21 [4%] ¦ 1 υψωσει [14%] ¦ υψωσει 1 [3%] § **5:6** καιρω **f**$^{35}$ 𝔭$^{72}$אB [85%] RP,HF,OC,TR,CP,NU ¦ 1 επισκοπης A [14%] ¦ 1 εν τω μελλοντι αιωνι [1%] * **5:7** επιρριψαντες **f**$^{35}$ [93%] RP,HF,OC,TR,CP ¦ επιριψαντες אA,B [4%] NU ¦ απορiψαντες 𝔭$^{72}$ ¦ επιρριψατε [3%] † **5:7** μελει *rell* ¦ μελλει [20%] ‡ **5:7** υπερ **f**$^{35}$ [35%] ¦ περι 𝔭$^{72}$אA,B [65%] RP,HF,OC,TR,CP,NU (God does the caring for them, in their place.) § **5:8** οτι **f**$^{35}$ 𝔭$^{72}$ [50%] TR ¦ — אA,B [50%] RP,HF,OC,CP,NU * **5:8** περιερχεται **f**$^{35}$ [24%] ¦ περιπατει 𝔭$^{72}$אA,B [76%] RP,HF,OC,TR,CP,NU (The lion isn't ambling aimlessly; he is circling the prey, looking for an opening.) † **5:8** τινα **f**$^{35}$ 𝔭$^{72}$אA [99%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ — B [1%] ‡ **5:8** καταπιειν **f**$^{35}$ (א)B [53%] CP,NU ¦ καταπιει [25%] ¦ καταπιη 𝔭$^{72}$A [22%] RP,HF,OC,TR

ἀντίστητε, στερεοὶ τῇ πίστει, εἰδότες τὰ
αὐτὰ τῶν παθημάτων τῇ ἐν§ κόσμῳ ὑμῶν
ἀδελφότητι ἐπιτελεῖσθαι.*

# Benediction

10 Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας
ὑμᾶς† εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ
Ἰησοῦ,‡ ὀλίγον παθόντας, αὐτὸς καταρτίσαι§
ὑμᾶς*—στηρίξαι,† σθενώσαι,‡ θεμελιώσαι.§
11 Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος* εἰς τοὺς αἰῶνας
τῶν αἰώνων.† Ἀμήν.

## *Sign-off*

12 Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ,
ὡς λογίζομαι, δι᾽ ὀλίγων ἔγραψα, παρακαλῶν
καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν

---

§ **5:9** εν **f**$^{35}$ A [99.4%] RP,HF,OC,TR,CP,*ECM* ¦ 1 τω 𝔭$^{72}$(א)B [0.6%] [NU] * **5:9** επιτελεισθαι *rell* ¦ επιτελεισθε אA,B [12%] ¦ επιτελειται 𝔭$^{72}$ † **5:10** υμας **f**$^{35}$ 𝔭$^{72}$אA,B [92%] RP,HF,OC,CP,NU ¦ ημας [8%] TR ‡ **5:10** ιησου **f**$^{35}$ 𝔭$^{72}$A [97%] RP,HF,OC,TR,CP[NU] ¦ — א(B) [3%] *ECM* § **5:10** καταρτισαι **f**$^{35}$ [88%] RP,HF,TR,CP ¦ καταρτισει 𝔭$^{72}$אA,B [12%] OC,NU ¦ two other readings * **5:10** υμας **f**$^{35}$ [88%] RP,HF,OC,TR,CP ¦ — 𝔭$^{72}$אA,B [12%] NU † **5:10** στηριξαι **f**$^{35}$ [33%] TR,CP ¦ στηριξει 𝔭$^{72}$אA,B [66%] RP,HF,OC,NU ¦ στηριξοι [1%] (Future indicative or aorist optative?) ‡ **5:10** σθενωσαι **f**$^{35}$ [30%] TR,CP ¦ σθενωσει אA,B [66%] RP,HF,OC,NU ¦ σθενωσοι [1%] ¦ — 𝔭$^{72}$ [3%] ¦ one other variant § **5:10** θεμελιωσαι **f**$^{35}$ [30%] TR,CP ¦ θεμελιωσει 𝔭$^{72}$א [66%] RP,HF,OC,NU ¦ θεμελιωσοι [1%] ¦ — A,B [3%] * **5:11** η δοξα και το κρατος **f**$^{35}$ א (59.6%) RP,HF,OC,TR,CP ¦ 125 (31.3%) ¦ 45312 (7%) ¦ το (−το 𝔭$^{72}$) κρατος 𝔭$^{72}$A,B (0.8%) NU (Three other readings; the evidence for η δοξα is massive.) † **5:11** των αιωνων **f**$^{35}$ אA [91%] RP,HF,OC,TR,CP ¦ — 𝔭$^{72}$B [9%] NU

τοῦ Θεοῦ εἰς ἣν ἑστήκατε.‡ 13 Ἀσπάζεται ὑμᾶς
ἡ ἐν Βαβυλῶνι συνεκλεκτή· καὶ Μᾶρκος, ὁ
υἱός μου. 14 Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι
ἀγάπης.

Εἰρήνη ὑμῖν, πᾶσιν τοῖς ἐν Χριστῷ Ἰησοῦ.§

‡ **5:12** εστηκατε **f**$^{35}$ [92%] RP,HF,OC,TR,CP ¦ στητε 𝔓$^{72}$אA,B [8%] NU ¦ two other readings § **5:14** ιησου **f**$^{35}$ א [95%] RP,HF,OC,TR,CP ¦ — A,B [5%] NU

Ἀμήν.*,†

---

* **5:14** αμην **f**[35] א [97%] RP,HF,OC,TR,CP ¦ — A,B [3%] NU (𝔓[72] omits the whole last sentence.) † **5:14** The citation of **f**[35] is based on forty-three MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 604, 664, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2221, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723—all of which I collated myself. 1865, 2554 and 2723 are very pure representatives of **f**[35] in 1 Peter, with not a single variant, as were the exemplars of 35 and 824. For 1865, 2554 and 2723 to have no variants after all the centuries of transmission is surely an eloquent demonstration of the faithfulness and accuracy of that transmission. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Meteora, Sparta, Ochrida, Mt. Athos [nine different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception. *ECM* collated 127 continuous text manuscripts (MSS) for 1 Peter, apart from a few fragments, which number represents about 20% of the extant (known) MSS. By a careful comparison of *TuT* and *ECM* I believe we can arrive at some reasonably close extrapolations. Thus I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error will hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error will rarely exceed ±10%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνική (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:
You include the above copyright and source information.
You do not sell this work for a profit.
You do not change any of the words or punctuation of the Scriptures.
Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2022-12-22

---

PDF generated using Haiola and XeLaTeX on 31 Jan 2023 from source files dated 23 Dec 2022
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73